σωφροσύνης καὶ ἀνδρείας οὐκ ἔστιν ὑπερβολὴ A καὶ ἔλλειψις, διὰ τὸ τὸ μέσον εἶναί πως ἄκρον· οὕτως οὐδὲ ἐκείνων μεσότης, οὐδὲ ὑπερβολὴ καὶ ἔλλειψις, ἀλλ᾽ ὡς ἂν πράττηται, ἁμαρτάνεται· ὅλως γὰρ οὔθ᾽ ὑπερβολῆς καὶ ἐλλείψεως μεσότης ἐστὶν, οὐδὲ μεσότητος ὑπερβολὴ καὶ ἔλλειψις.

Quemadmodum autem temperantiæ & fortitudinis nullus est excessus aut defectus, propterea quòd medium ipsum extremum etiam quodam modo est: ita neque illorum mediocritas vlla, aut excessus aut defectus esse potest: sed vtcunque agantur, peccatum est. omnino enim neque exuperationis aut defectionis mediocritas, neque mediocritatis exuperatio aut defectio vlla est.

## Κεφάλαιον ζ.

Δεῖ δὲ, τοῦτο μὴ μόνον καθόλου λέ- B γεσθαι, ἀλλὰ καὶ τοῖς καθ᾽ ἕκαστα ἐφαρμόττειν· ἐν γὰρ τοῖς περὶ τὰς πράξεις λόγοις, οἱ μὲν καθόλου, κενώτεροί εἰσιν· οἱ δὲ ἐπὶ μέρους, ἀληθινώτεροι· περὶ γὰρ τὰ καθ᾽ ἕκαστα αἱ πράξεις· δέον δὲ ἐπὶ τούτων συμφωνεῖν. ληπτέον οὖν ταῦτα ἐκ τῆς διαγραφῆς. Περὶ μὲν οὖν φόβους καὶ θάῤῥη, ἀνδρία μεσότης· τῶν δ᾽ ὑπερβαλλόντων, ὁ μὲν τῇ C ἀφοβίᾳ, ἀνώνυμος· πολλὰ δ᾽ ἐστὶν ἀνώνυμα· ὁ δ᾽ ἐν τῷ θαῤῥεῖν ὑπερβάλλων θρασύς· ὁ δὲ, τῷ μὲν φοβεῖσθαι ὑπερβάλλων, τῷ δὲ θαῤῥεῖν ἐλλείπων, δειλός. περὶ ἡδονὰς δὲ καὶ λύπας οὐ πάσας, ἧττον δὲ καὶ περὶ τὰς λύπας, μεσότης μὲν, σωφροσύνη· ὑπερβολὴ δὲ, ἀκολασία. ἐλλείποντες δὲ περὶ τὰς ἡδονὰς οὐ πάνυ γίνονται· διόπερ οὐδ᾽ οὗτοι ὀνόματος D τετυχήκασιν· ἔστωσαν δὲ ἀναίσθητοι. περὶ δὲ δόσιν χρημάτων καὶ λῆψιν, μεσότης μὲν ἐλευθεριότης· ὑπερβολὴ δὲ καὶ ἔλλειψις, ἀσωτία καὶ ἀνελευθερία. ἐναντίως δὲ αὐταῖς ὑπερβάλλουσι καὶ ἐλλείπουσιν· ὁ μὲν γὰρ ἄσωτος, ἐν μὲν προέσει ὑπερβάλλει, ἐν δὲ λήψει ἐλλείπει· ὁ δὲ ἀνελεύθερος, ἐν μὲν λήψει, ὑπερβάλλει· ἐν δὲ προέσει, ἐλλείπει. E νῦν μὲν τύπῳ καὶ ἐπὶ κεφαλαίῳ λέγομεν, ἀρκούμενοι αὐτῷ τούτῳ· ὕστερον δὲ ἀκριβέστερον περὶ αὐτῶν διορισθήσεται. περὶ δὲ τὰ χρήματα εἰσὶ καὶ ἄλλαι διαθέσεις· μεσότης μὲν, μεγαλοπρέπεια. ὁ γὰρ μεγαλοπρεπὴς διαφέρει ἐλευθερίου· ὁ μὲν γὰρ, περὶ μεγάλα· ὁ δὲ περὶ μικρά. ὑπερβολὴ δὲ, ἀπειροκαλία καὶ βαναυσία· ἔλλειψις δὲ, μικροπρέπεια· διαφέρουσι δὲ F αὗται τῶν περὶ τὴν ἐλευθεριότητα· ᾧ δὲ διαφέρουσιν, ὕστερον ῥηθήσεται. περὶ δὲ τιμὴν καὶ ἀτιμίαν, μεσότης μὲν, μεγαλοψυχία· ὑπερβολὴ δὲ, χαυνότης τις λε-

## CAPVT VII.

At verò non oportet solum vniuersaliter hæc dicere, sed particularibus etiam accommodare. quæ enim de actionibus fiunt disputationes, si vniuersaliter tractantur, communiores: si particulariter, veriores sunt. circa particularia enim actiones versantur, quibus consentanea esse debent quæ dicuntur. Sumenda igitur hæc ex descriptione sunt. Circa timores quidem & fiducias mediocritas fortitudo est: eorum verò, qui excedunt, ille qui in trepiditate excedit, vacat nomine (multa enim sunt, quæ nomen non habent) qui confidendo exuperat, audax est: at qui & in timendo exuperat, & in confidendo deficit, is est ignauus. Circa voluptates verò & ægritudines non omnes, sed corporales, atque eas maximè quæ in tactu existunt, circa ægritudines autem minus, mediocritas temperantia est: excessus intemperantia est. at quia non admodum inueniri consueuerunt, qui in voluptatibus deficiant, idcirco neque nomen aliquod huiuscemodi homines adepti sunt: sed stupidi appellentur. Circa dationem acceptionémque pecuniarum mediocritas est liberalitas: excessus & defectus prodigalitas & illiberalitas, seu auaritia: in quibus contrario modo excedunt & deficiunt homines, prodigus enim in largiendo excedit, in accipiendo deficit: auarus contrà excedit in accipiendo, in dando deficit. Ac de his quidem nunc figura quadam ac summatim dicimus, hac ipsa breuitate contenti postea accuratius de iisdem pertractabimus ac definiemus. Iam circa pecunias aliæ quoque sunt dispositiones, è quibus mediocritas magnificétia est, nam magnificus à liberali eo differt, quòd ille circa parua, hic circa magna versatur. excessus est decori imperitia, seu indecorum, & ineptitudo operaria: defectus paruificentia: quæ vitia differunt etiã ipsa ab iis, quæ circa liberalitatẽ sunt quomodo verò differant, posterius dicetur. At verò circa honorem & ignominiam mediocritas est magnanimitas: excessus inflatio